**διάλυσις**

Trich. 396. 16 sqq. περὶ παιωνικοῦ. τὸ παιωνικὸν καλούμενον μέτρον τοῖς παλαιοῖς καὶ κρητικὸν ὀνομάζεται, ἐκ κρητικῶν γὰρ ὅλων ποδῶν σύγκειται ἐνίοτε ... 397.1 sqq. κρητικὸν μὲν οὖν τὸ μέτρον τοῖς παλαιοῖς ὅπερ ἐλέγομεν ὠνομάζετο˙ ἐπεὶ δὲ πολλοὶ τῶν κωμικῶν τε καὶ τραγικῶν, ἐξαιρέτως δὲ καὶ ὁ Ἀριστοφάνης, τοῦ κρητικοῦ τὴν διάλυσιν ἐποιήσαντο εἰς πρῶτον ἢ τέταρτον παίωνα καὶ ὡς ἐπὶ τὸ πολὺ εἰς πρῶτον, παιωνικὸν ὠνομάσθη διὰ τοῦτο.

Tzetz. *de metr.* 331. 20 sqq.

τὰ πάντα μέτρα δέχονται τὰ πάθη τοῦ ἡρώου˙
τὰς συνιζήσεις, τὰς κοινάς, τὰς διαλύσεις ἅμα˙
τὸ διαλύειν τὴν μακρὰν δύο βραχείας λέγω.

Schol. B in Hephaest. 287. 6 sqq.
δύο δὲ βραχειῶν εἰς μίαν μακρὰν ὡς ἐν τῷ· ([Hom.] *Il.* III 237)

Κάστορά θ’ ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα,

τῆς ‘κε’ καὶ ‘α’ συλλαβῆς, καὶ ἀμφοτέρων βραχειῶν οὐσῶν, εἰς μίαν μακρὰν συναιρουμένων. τοῦτο δέ τινες οὔ φασιν εἶναι συνίζησιν ἀλλὰ διάλυσιν τῆς τελευταίας τοῦ σπονδείου μακρᾶς. [*F.R.*]